§. χιδ΄. Τῆς δὲ καθόλου ἀποφατικῆς ἄμφω οἱ ὅροι καθόλου (§. Αὐτ.).

§. χιέ. Τῆς δὲ ἐπὶ μέρους καταφατικῆς ἄμφω ἐπὶ μέρους. (§. Αὐτ.).

§. χιϛ΄. Τῆς δ᾽ ἐπὶ μέρους ἀποφασκούσης, ὃς μὲν ὑπόκειται, ἐπὶ μέρους· ὃς δὲ κατηγορεῖται, καθόλου. (§. Αὐτ.).

§. χιζ΄. Συλλογισμὸς δὲ ἐστὶ δεῖξις τινὸς καθ᾽ ἑτέρου, δι᾽ ἑτέρου. (§. φζ΄.) (1).

## ΑΞΙΩΜΑΤΑ.

§. χιή. Τριῶν προκειμένων ἀνὰ δύω λαμβανομένων, συζυγίαι συνίστανται τρεῖς, πρὸς ἀλλήλας διαφορὰν ἔχουσαι, τὴν ἐκ τοῦ συνδυασμοῦ.

§. χιθ΄. Τὰ τῷ αὐτῷ ταυτὰ, καὶ ἀλλήλοις ἐστὶ ταυτά.

§. χκ΄. Ὧν τὸ μὲν τρίτῳ ταυτὸν, τὸ δ᾽ οὔ, οὐδ᾽ ἀλλήλοις ἐκεῖνα ταυτά.

§. χκά. Τὰ μὴ τρίτῳ τινὶ ταυτὰ, ἀλλήλοις ταυτὰ ἐνδέχεται καὶ εἶναι, καὶ μή.

§. χκβ΄. Δύω δυσὶ μηδαμῶς ταυτουμένοις, ἕτερον ἑτέρῳ ὄντα ταυτὰ, ἀλλήλοις οὐκ εἰσὶ ταυτά.

§. χκγ΄.

μίαν ἐν ᾧ κεῖται συνιδεῖν, τῷ κατὰ τὰ στοιχεῖα τῶν συλλογισμῶν ἀναλύειν αὐτὴν μὴ πεπαιδευμένῳ. Καὶ οὐκ ἀκόμψως ῥηθείη ἂν καὶ περὶ τοῦ τοιούτου, τὸ περὶ τῶν παλαιῶν ὑπὸ Ἀμμωνίου εἰρημένον (εἰς βίον Ἀριστ.) „ὡς οἱ πάλαι „ἀποδεῖξαι μὲν ᾔδεσαν, ἀποδείξεις δὲ „ποιεῖν οὐκ ἠπίσταντο· ταυτὸ πάσχοντες „τοῖς σκυτοτομεῖν μὲν μὴ δυναμένοις, „ὑποδήμασι δὲ χρῆσθαι εἰδόσι. Καὶ περὶ μὲν τούτου τοσαῦτα. Προσθήσω δ᾽ ὅτι τὴν ἀκριβεστάτην τοῦ συλλογισμοῦ διάληψιν, κἂν ἅπαντες περιττὴν εἶναι τάξειαν τῇ χρήσει, ἡγεμὼν Λογικὴ πραγματεία, τὸ μέρος ἑαυτῆς εἶναι θήσει τὸ πραγματειώτατον. Ταύτης γὰρ οὐχ ὅπως ἔργον, τὰς γνωστικὰς δυνάμεις πρὸς τὸ ἐνεργεῖν ἀπευθύνειν, ἀλλὰ καὶ τὸ ἦθος αὐταῖς ἐν ᾧ κεῖται εὐσκόπως φιλοκρινεῖν. Καὶ τόγε καθ᾽ ὅσους δὴ καὶ οἵους τρόπους, ἡ τῶν ὅρων ἐπιπλοκὴ εἰς ὀρθὴν ἂν συντελέσειε διάνοιαν πολυπραγμονεῖν, τοῦ διαλεκτικοῦ ἔργον, οὐδὲν ἧττον ἢ τοῦ Φυσικοῦ τὸ ἐξ οἵωντε καὶ ὅσων ὑμένωντε ἢ ὑγρῶν ὁ ὀφθαλμὸς διωργάνισται θεωρεῖν. Κἂν γὰρ ἑκάτερον περιττὸν εἶναι δοίητις εἰς ἐνέργειαν, ἀλλ᾽ ἡ θεωρία τῆς δυνάμεως ἐξακριβοῦσα τὴν φύσιν, εἰ μηδὲν ἄλλο, τὰ τῆς διαστροφῆς παραίτια ἀνακαλύπτει ῥᾳδίως, καὶ τούτων τὴν θεραπείαν κατὰ τὸ ἐνδεχόμενον οἰκονομεῖ.

(1) „Ὁ συλλογισμὸς τὶ κατάτινος „δείκνυσι διὰ τοῦ μέσου. Ἀριστ. Ὑστέρ. Ἀναλ. Βιβλ. Β΄. Κεφ. δ΄. Νοητέον δὲ τὸ κατάτινος, ἤτοι καταφατικῶς, ἢ ἀποφατικῶς.



§. χκγ΄. Τῶν καθ᾽ ἕκαστα καὶ ἀριθμῷ διαφερόντων ἕκαστον ἑκάστου ἕτερον.

§. χκδ΄. Τὸ κατὰ παντός· ἤτοι τὸ λεγόμενον κατὰ τοῦ ἀνωτέρω, καὶ κατὰ τοῦ κατωτέρω ῥηθήσεται. (§. ϙϛ΄. φμϛ΄.).

§. χκέ. Τὸ κατὰ μηδενός· ἤτοι τὸ τοῦ ἀνωτέρω ἀποφασκόμενον, καὶ τοῦ κατωτέρω ἀποφάσκεται. (§. Αὐτ.).

§. χκϛ΄. Δύο τινὰ, οὐ μᾶλλόν τι συνάπτεσθαι, ἢ διαζεύγνυσθαι ὕστερον εἰρήσεται, ἢ πρότερον, μηδενὸς λόγου ἐπενεχθέντος, δι᾽ ὃν ἤδη συνῆφθαι ταῦτα, ἢ διεζεῦχθαι καταφανὲς γένοιτο.

§. χκζ΄. Οὐδὲν ἑαυτοῦ τῷ ὄντι διήρηται.

## Τὰ κατὰ Γένος παντὶ Συλλογισμῷ ἐπιθεωρέμενα.

### Θεώρημα Α΄.

§. χκή. „Ἐπὶ παντὸς συλλογισμοῦ τρεῖς οἱ ὅροι.

Δεῖξις.

Ὁ γὰρ συλλογισμὸς ἐστὶ δεῖξις τινὸς καθ᾽ ἑτέρου δι᾽ ἑτέρου. (§. χιζ΄.). Τὰ δὲ τρία. Ἄρα κτ.

### Θεώρημα Β΄.

§. χκθ΄. „Παντὸς συλλογισμοῦ τρεῖς αἱ προτάσεις.

Δεῖξις.

Τρεῖς γὰρ οἱ ὅροι (§. ἀνωτ.). Τριῶν δὲ προκειμένων ἀνὰ δύω λαμβανομένων, συζυγίαι συνίστανται τρεῖς (§. χιή.). Συζυγία δέ τις ὅρων ἐστὶ δυοῖν, πρότασις πᾶσα (§. χιβ΄.). Ἄρα κτ.

### Θεώρημα Γ΄.

§. χλ΄. „Τῶν ἐν παντὶ συλλογισμῷ τριῶν Προτάσεων αἱ „πρῶται δύω, τὸν ἕνα τῶν τριῶν, κοινὸν φέρουσιν ὅρον.

Δεῖξις.

Ἡ μὲν γὰρ πρώτη ἐκ δυοῖν πάντως (§. χιβ΄.) τῶν τριῶν (§. χκή.). Ἐκ δυοῖν δ᾽ ὡσαύτως καὶ ἡ δευτέρα (§. αὐτ.). Ἐκ τοῦ λοιποῦ ἄρα, καὶ τοῦ ἑτέρου τῶν ἐπὶ τῆς πρώτης. Ἄρα κτ.

### Θεώρημα Δ΄.

§. χλά. „Ἡ τρίτη παντὸς συλλογισμοῦ πρότασις, ἐκ τῶν „ταῖς προκειμέναις ἐνδιαζόντων ὅρων συνίσταται.

Δεῖξις.